γὰρ αὐτοῦ ἐστιν ἅπαντα τῆς παλαιᾶς καὶ τῆς χάριτος.
Ταῦτα εἰ καὶ δευτερεύει τῶν προλαβόντων, ἀλλ' οὖν τὴν
δευτέραν χώραν, ὅσαγε τοῖς ἐλέγχοις βάλλειν τοὺς θεομά-
χους, ἔχει. Ποῦ γάρ τινα βλασφημίαν κατὰ τοῦ νόμου, ἢ
τῶν ἐν τῷ νόμῳ, ἢ τοῦ νομικοῦ ἱεροῦ πάροδον εὑρεῖν
ὅλως ἐκδιδόασιν; Ἀλλὰ τί εἶπον βλασφημίαν; Πόσης τι-
μῆς καὶ δόξης οὐ μεταδιδόασιν; ὅσοις ἔνεστι μετασχεῖν τοῖς
κοινωνοῦσι καὶ συνδιαπλεκομένοις καὶ συμφωνοῦσι τῇ χάριτι.
Ἡ δὲ προφῆτις Ἄννα, ἧς ὁ βίος, ἡ προσευχὴ, καὶ ἡ ἐν τῷ
ναῷ σχολὴ, καὶ, τὸ πᾶν εἰπεῖν, ἡ νομικὴ λατρεία, εἰ μὴ
τῆς ἀγαθουργοῦ καὶ χειρὸς καὶ προνοίας ἦν καὶ αὐτὴ, καὶ
οἷς ἔζη καὶ ἐσεμνύνετο, εἰ μὴ τὴν ἐπίπνοιαν ἔσχεν ἐκεῖ-
θεν· πῶς ἀνθωμολογεῖτο τῷ κυρίῳ, καὶ περὶ τοῦ ἀγαθοῦ
ἐλάλει θεοῦ, ὡς λύτρωσις οὗτος εἴη, τοῖς ἐν ἱερουσαλὴμ
προσδεχομένοις αὐτόν; Ἄρα δὲ, οἳ προσεδόκων εἰς σω-
τηρίαν αὐτῶν ἥκειν τὸν χριστὸν, οὗτοι τὴν φαύλην θε-
ραπεύοντες ἀρχὴν, πρὸς τὴν ἀγαθὴν ἀνέφερον τὰς ἐλ-
πίδας; Καὶ τίς ἂν λογισμοῦ κύριος οὐ βδελύξηται, καὶ πλά-
νης ἐσχάτης ἐπιψηφιεῖται τὸ διαλογίζεσθαι ταῦτα; Ἔτι δή
μοι καὶ προσωτέρω. Ἄνεισιν ὁ σωτὴρ εἰς τὸ ἱερὸν ἅμα
τῆς, ὡς ἀληθῶς, μητρὸς καὶ παρθένου. Συναντήσει δὲ καὶ ὁ τῇ
δόξῃ τῆς μνηστείας πατὴρ. Κἀνταῦθα πάλιν τὸν νόμον
πληρῶν ὁ σωτὴρ καὶ ἄνεισιν, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις,
ὥσπερ ἐξεπίτηδες. Οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ἐπιστο-
μίζειν καὶ καταβάλλειν σπουδάζων τοὺς τῶν νομικῶν ὑβριστὰς
ἐντολῶν. Ἀνελθὼν δὲ οὖν πότε κατὰ τὸ εἰθισμένον, ἐπεὶ τὰ νο-

Marginal notes: Χ... hoc margine invenit; l. εἶχεν; καὶ δὴ